Vide l. vn §. Ædificiorum. C. de monopolijs l. Ex quo pace 12. §. 8. C. de ædif. priuatis. Et nota hæc Imp. verba, *aliorumque diuersorum operum professores* Græcos his reddidisse, ἢ τῶν ἄλλων ἐργοδιδάσκαλοι. paulo post dixit, *cæterarum professionum primates*, Gall. *Les maistres iurez.* In vno ex MSS. scriptum est, ἢ τῶν ἄλλων ἔργων διδάσκαλοι.

IN LIBRVM XXI.

PAg. 130. *tit. de tempore luctus cap.* 5. ἡ πενθοῦσα καλῶς μνηστεύεται. εἰ καὶ τοιοῦτος ἐστὶν ὁ ἀνὴρ ὥστε μὴ πενθεῖσθαι .... ὁ αὐτόμολος καὶ ὁ κατακριθεὶς ἐπὶ τυραννίδι, καὶ ὁ προδότης, καὶ ἀπαγχόμενος, καὶ ὁ χεῖρας ἐπιβαλὼν ἑαυτῷ μὴ μίσει τῆς ζωῆς, ἀλλὰ καὶ ἡ συνήθεια, ... ὅμως διὰ τὴν σύγχυσιν τῆς γονῆς ἡ πρὸ τοῦ πενθίμου γαμοῦσα, ἀτιμοῦται, καὶ ὁ ἐν εἰδήσει ἀγαγόμενος αὐτήν. *Reponendum ex M S. & legen-*

dum, ἡ πενθοῦσα, καλῶς μνηστεύεται. εἰ καὶ τοιοῦτος ἐστὶν ὁ ἀνὴρ ὥστε μὴ πενθεῖσθαι. ὡς ὁ αὐτόμολος, καὶ ὁ κατακριθεὶς ἐπὶ τυραννίδι, καὶ ὁ προδότης, καὶ ὁ ἀπαγχόμενος, καὶ ὁ χεῖρας ἐπιβαλὼν ἑαυτῷ, μὴ μίσει τῆς ζωῆς, ἀλλὰ κακῇ συνηθείᾳ. Ὅμως διὰ τὴν σύγχυσιν τῆς γονῆς ἡ πρὸ τοῦ πενθίμου γαμοῦσα, ἀτιμοῦται, καὶ ὁ ἐν εἰδήσει ἀγαγόμενος αὐτήν. *Quæ virum eluget, recte despondetur. etsi talis sit maritus vt eum lugeri non oporteat. sicut transfuga, & perduellionis damnatus, & proditor, & suspendiosus, & qui sibi ipsi manus intulit, non tædio vitæ, sed malo more. Sed tamen propter turbationem seminis ea, quæ ante nubit, quam lugendi tempus exierit, infamia notatur: & qui sciens eam duxit.*

Leunclauius vertit, mala conscientia, vt est in l. 10. D. de his qui not. infamia, & secundum eam legem in marg. notauit legendum, κακῇ συνειδήσει. Male. Recte namque dictum κακῇ συνηθείᾳ, malo more: Mortis enim consciscendæ causa sibi facit, qui propter nequitiam malosque mores flagitiumve aliquod admissum mortem sibi consciscere voluit. non si dolorem corporis non sustinendo id fecerit, vt ait Paulus I C. in l. Bouem 43. D. de ædil. edicto.

Ad hoc cap. adscribendum hoc

ΣΧΟΛΙΟΝ.

Ἡ ἐν τῷ πενθεῖν τὸν ἄνδρα γεννήσασα, κωλύεται γάμῳ προσελθεῖν. ἡ δὲ ἐν τῷ πενθίμῳ χρόνῳ τεκοῦσα, οὐ κωλύεται γαμεῖν. Οὐκ ἐναντία ἡ τῶν νόμων διάνοια, ἀλλὰ καὶ λίαν σύμφωνος, κατ' ἄλλο καὶ ἄλλο σημαινόμενον. Ὅρα γὰρ τοῦ

πρωτοτύπου τοῦ νοσοῦ. Ἡ ἐν τῷ πενθεῖν τεκοῦσα, κωλύεται γαμεῖν. τῶν γὰρ ἀξίων πενθεῖσθαι αἱ γυναῖκες, ἤτοι τῶν ἀνεπιλήπτως βιούντων, καὶ ἁπλῶς τῶν μὴ τῷ νόμῳ μεμισημένων, καὶ τεκοῦσαι, κωλύονται ἕως οὗ ὁ τοῦ πένθους καιρὸς πληρωθῇ. Κατὰ γὰρ δύο τρόπους, ὁ πένθιμος καιρὸς εἴωθε τυποῦσθαι. διὰ τὸ μὴ σύγχυσιν γίνεσθαι τῆς γονῆς, καὶ διὰ τὴν ὀφειλομένην τιμὴν τοῖς ἀνδράσιν, ὧν ἡ μὲν μία λύεται διὰ τοῦ τοκετοῦ. ἡ δὲ ἑτέρα, ἐπιφέρεται διὰ τὴν τιμήν. ἥτε καὶ παρελυθεῖσα τῷ τόκῳ, μένει δι' αἰδῶ καὶ τιμὴν τοῦ ἀνδρός. ἡ δὲ τοῦ ἑτέρου οὗτος ἡ ἐν τῷ πενθεῖν τεκοῦσα οὐ κωλύεται γαμεῖν. οὐ γὰρ ἄξιοι τοῦ πενθεῖσθαι οἱ ἄνδρες. οἷον αὐτόμολοι, προδόται, ἀπαγχόμενοι, καὶ οἱ λοιποὶ οὓς ὁ νόμος ἀνατάττεται διὰ τὸ μὴ εἶναι ἀξίους πένθους. τούτων γὰρ παραυτίκα τέξασαι αἱ γυναῖκες γαμοῦσι. τοῦ γὰρ χρόνου τῆς συγχύσεως λυθέντος ἀκωλύτως γαμοῦσι. τὴν παρὰ τῶν νόμων τιμὴς ὑπεξαιρουμένων τῶν αὐτομόλων, καὶ τῶν ἄλλων τῶν μὴ πενθουμένων. ὁ γὰρ νομοθέτης ἐπὶ τὸν χρόνον τρέψας τὸ πένθος, ἀναξίους αὐτοὺς τοῦ πενθεῖσθαι παρεδήλωσεν.

Vide l. Liberorum autem D. de his qui notantur infamia.

IN LIBRVM XXII.

P*Ag.* 241. *tit. de iureiurando delato, & relato. cap.* 1. *sic legitur in MSS, vt & in ed.* Ὅρκος ἐπιφερόμενος εἴτε παρὰ τοῦ ἀντιδίκου εἴτε παρὰ τοῦ δικαστοῦ, τέμνει τὴν ἀμφισβήτησιν. ἔοικε γὰρ διαλύσει, καὶ μείζων ἐστὶ ψήφου. Ὁ μηδενὸς ἐνάγοντος ὀμνὺς, οὐκ ὠφελεῖται. *Iusiurandum vel ab aduersario, vel a iudice delatum controuersiam decidit. nam similitudinem transactionis habet,* & *maius quiddam est, quam res iudicata. Qui ne-*

mine iusiurandum deferente iurauit, ex eo nihil proficit.

Vide l. 1. 2. & 3. D. de iureiurando. Leuncl. emendat. Ὁ μηδνὸς ἐπάγοντος. Rationem vltimi §. hanc reddit I C. in d. l. 3. sibi enim iurauit, alioquin facillimus quisque ad iusiurandum decurrens nemine sibi deferente iusiurandum, oneribus actionum se liberabit. Sic in l. Videamus 4. D. in litem iurando dicitur, si alius detulerit iusiurandum, vel non delato iuratum sit, nulla erit religio, nec vllum iusiurandum. In MS adscriptum hoc

ΣΧΟΛΙΟΝ.

Οἷον ἐπὶ γυναικὸς τῆς ποιησάσης ἀπογραφὴν εἰς τὰ ἀνδρῶν πράγματα. τότε γὰρ ἀμφιβολίας οὔσης μὴ ἀπέκρυψέ τι, δίδωσιν ταύτῃ τὸν ἰνδικάλιον ὅρκον. Ἰνδικάλιος ὅρκος ἐστὶν, ὁ παρὰ κριτοῦ διδόμενος. Βουλουμτάριος, ὁ κατὰ συναίνεσιν ἀμφοτέρων τῶν μερῶν. Νεκεσσάριος, ὁ ἐντὸς τοῦ δικαστηρίου ἐξ αἰτήσεως τοῦ ἀντιδίκου. ὁ περὶ καλουμνίας, ἤτοι ὁ περὶ συκοφαντίας, καὶ ὁ ἰνλιτεμ, ἤτοι ὁ ἐν δίκῃ. ὡς ὅταν ἀπολέσας τὶς ἴδιον τίποτε, ὀφείλει ὀμνύειν πόσον ἦν.

Ibid. pag. 243. cap. 40. sic restituendum. Ἡ δίκη τοῦ ὅρκου κατὰ συναίνεσιν ἑκατέρου μέρους, ἢ τοῦ διαδίκου ἐπιφέροντος, ἐπενεχθέντος καὶ παρασχεθέντος ἢ συγχωρηθέντος, τμηθεῖσα· οὐδὲ τῷ προσχήματι τῆς ἐπιορκίας ἀναζητεῖσθαι δύναται: εἰ μὴ ἄρα ἰδικῶς τοῦτο νόμῳ ὑπεξαιρεῖται. *Causa iureiurando ex consensu vtriusque partis, vel aduersario inferente, delato & præstito, vel re-*

misso decisa: nec periurij prætextu retractari potest, nisi lege specialiter hoc excipiatur.

Vide l. Causa iureiurando 1. C. de reb. creditis & iureiur. Cuius hæc est ratio desumpta ex l. Non erit 5. D. de iureiurando, omne enim omnino licitum iusiurandum per quod voluit quis sibi iurari, idoneum est. & si ex eo fuerit iuratum, prætor id tuebitur. Corrupte in ed. Ἡ δίκη ὅρκου κατὰ σύναιστν. pro quo male Leuncl. reposuit, Ἡ δίκη δι' ὅρκου κατὰ συναίνεσιν.

Ibid. pag. 244. cap. 15. sic reponendum. Κατὰ τῆς τοῦ ὅρκου παραγραφῆς οὐκ ἀντιτίθεται δόλου ἀναπλοκὴ ἤτοι ἀνάλυσις. οὐ γὰρ ἀναψηλαφᾶται ὁ ὅρκος. ἀναπλοκὴ δὲ ἤτοι ἀνάλυσίς ἐστι, παραγραφὴ παραγραφῆς. *Aduersus exceptionem iurisiurandi replicatio doli mali non opponitur. nec enim iusiurandum retractatur, Replicatio vero est exceptionis exceptio.*

Vide l. Aduersus 15. D. de exceptionibus, in qua alia huius dicti ratio redditur, nempe hæc, cum prætor id agere debeat, ne de iureiurando cuiusquam quæratur. Idem dicitur, in l. de periurio 11. D. de in litem iurando. Vide etiam l. exceptio 22. D. eod. Corrupte in edit. παραγραφῆς ἀντιτίθεται. recte Leuncl. negatiuam deesse notauit.

Ibid. tit. de iureiurando quod in litem præstatur περὶ ὅρκου ἐνδίκου, *sic legendum non* ἐκδικουμένου, *cap. 1. sic restituendum.* Οὐχ ἐπειδὴ τὸ πρᾶγμα πλείονος ἀποτιμᾶ-

σθαι διὰ τοῦ ἐνδίκου ὅρκου δύναται ἐκ τῆς τοῦ ἐναγομένου προπετείας, διὰ τοῦτο καὶ πλείονος γίνεται. *Non quia res pluris estimari potest per iusiurandum in litem, ex rei contumacia, idcirco & pluris fit.*

Vide l. Rem in iudicio 1. D. de in litem iurando. Vitiose in ed. πλεῖον ἀποτιμᾶσθαι τοῦ ἐκδίκου, In MS. adscriptum hoc

ΣΧΟΛΙΟΝ,

Ὁ ἔνδικος ὅρκος, τοιοῦτος ἐστὶν, ὅταν τὶς ἀπελεγχθείη βιαίαν ἁρπαγὴν ποιησάμενος πραγμάτων, ἢ ἐπέλευσιν κατὰ οἰκίας τινὸς, ἢ κλοπὴν, ἢ ζημίαν ἄδικον, τότε ὀμνύει ὁ ἀντίδικος, ὅτι τόσα ἐζημιώθη καὶ ἀπώλεσεν ἐν τῇ γενομένῃ κατ' αὐτοῦ ἐπιθέσει, ἢ βίᾳ, ἢ κλοπῇ, ἢ ἀναισχύντῳ ζημίᾳ. καὶ ἀναλαμβάνει ταῦτα εἰς τὸ διπλοῦν ἀπὸ τοῦ ἀντιδίκου. πλὴν οὐκ ἀβασανίστως πάντα ὅσα ὀμόσει λαμβάνει, ἀλλὰ μετὰ ταξατίονος. ὁρίζει γὰρ ὁ δικαστὴς καὶ τὸ ποιὸν, τήν τε εὐπορίαν τοῦ ἐνάγοντος. καὶ τὸν τόπον, ἐν ᾧ ἀπώλεια γέγονε. καὶ κατ' ἐκείνους ἀφορίσαι τὸ ποσὸν, καὶ τότε προτρέπει αὐτὸν ἐπιμόσασθαι, ὅτι οὐχ ἧττονα τῶν τοσούτων ἀπώλεσεν. Τυχὸν ἄξιον τὸ πρᾶγμα νομισμάτων ν. τετίμηται νομισμάτων ρ. διὰ τὴν προπέτειαν τοῦ ἐναγομένου. Διατιμᾶται δὲ, οὐ πρὸς τὴν τοῦ πράγματος διατίμησιν, ἀλλ' εἰς τὸ διαφέρον τῷ κινοῦντι. ἔγνως γὰρ ἐν τῷ β. διατάγματι τοῦ παρόντος τίτλου, ὅτι ἔνθα κατὰ κοῦλπαν τοῦ ῥέου τὸ πρᾶγμα ἀποκαθίσταται, τότε ὁ δικαστὴς τὸ διαφέρον σκοπεῖ.

Ibid cap. 9. sic emendandum. ἐπὶ τῆς περὶ κλοπῆς ἀγωγῆς δεῖ ὀμνύειν, ὅτι τοσούτου ἦν τὸ πρᾶγμα ὅτε ἐκλάπη, οὐ μὴν ὅτι ἐστὶ πλείονος. *In actione furti iurare oportet,*

oportet, tanti rem fuisse, quum furtum fieret: non etiam pluris fuisse.

Vide l. cum furti. 9. D. de in litem iurando, in qua hanc huius dicti rationem reddit I C. quia quod res pluris est, vtique tanti est.

IN LIBRVM XXIII.

P*Ag.* 247. *tit. de vsuris cap.* I. *sic legitur in MS.* Ἐπὶ τῶν καλῇ πίστει ἀγωγῶν, ὀφφικίῳ τοῦ δικάζοντος ὁ τόκος ὁρίζεται πρὸς τὸ ἔθος τοῦ κλίματος, ἐν ᾧ τὸ συνάλλαγμα γέγονεν: ὥστε μέντοι μὴ ὑπερβαίνειν τὸ νόμιμον. *In bonæ fidei iudiciis officio iudicis vsurarum modus ex more regionis, in qua contractum est, constituitur: ita tamen, vt legitimum non excedat.*

Vide l. Cum iudicio I. D. de vsuris. In ed. vt & in vno ex MSS. legitur, γέγονε: ὥστε μέντοι μὴ ὑπερβῆναι τὸν νόμον, ita tamen, vt legem non excedat. IC. in d. l. I. dixit, *ita tamen, vt legi non offendat.* In MS. ad hæc verba, ἐπὶ τῇ καλῇ πίστει, adscriptũ hoc

ΣΧΟΛΙΟΝ.

Οὐ μὴν ἐπὶ ὑπερθέσει, ὀφφικίῳ τοῦ δικάζοντος ἀπαιτεῖται. Καὶ οὐ δύναται κινεῖσθαι ἰδιάζουσα ἐπ' αὐτῇ ἀγωγή. Διὰ τοῦτο γοῦν ἐὰν ἀποφάσεως ἅπαξ γεγονυίας περὶ τοῦ προτοτύπου τὰ περὶ τῶν τοιούτων τόκων παρασιωπηθῇ, ἔκτοτε σβέννυνται καὶ ἀπαιτεῖσθαι δύνανται. οἱ δὲ κατὰ φύσιν τοῦ συναλλάγματος ἀπαιτούμενοι τόκοι, κἂν ἡ προτότυπος ἀγωγὴ καταχθεῖσα εἰς δικαστήριον διὰ τὸ κεφάλαιον ἐπερωτήθη, δύναται διὰ τῆς αὐτῆς ἀγωγῆς ἀπαιτεῖσθαι, ὡς φησὶν ὁ γαρειδᾶς.

Ibid.cap.9.ſic reſtituendum, Ἐὰν ὁ δανείσας ἐπερωτήσῃ τὸ διπλοῦν τῶν ἐπηρωτημένων τόκων ἐξ ὑπερθέσεως: μέχρι μόνου τοῦ νομίμου τόκου ἔρρωται, κατὰ τὸ μέτρον ἑκατέρου χρόνου. ὁ ἐπερωτήσας ἐλαφροὺς τόκους, δύναται μείζονας μέχρι τῶν νομίμων ἐξ ὑπερθέσεως ἐπερωτᾷν. *Si creditor duplum promiſſarum vſurarum, ex mora ſtipulatus fuerit, vſque ad legitimam vſuram valet, pro modo cuiuſcumque temporis. Stipulatus minores vſuras, poteſt maiores ad legitimas vſque, pro mora ſtipulari.*

Vide l. Pecuniæ fænebris. 9. D. de vſuris. in qua IC. hanc rationem reddit cur hæc ſtipulatio non ſit inutilis, non enim pœna, ſed fænus vberius iuſta ratione ſortis promittitur. Corruptè in ed. τὸ διπλοῦν ἐξ ὑπερθέσεως.

Ibid. pag.248. cap.47. ſic reponendum, Ὁ γὰρ ἀνεπερώτητος τόκος ἀπαίτησιν μὲν οὐκ ἔχει. ἐνεχύρου δὲ ὄντος, δίδωσι τῷ δανειστῇ παρακατάσχεσιν, ἐὰν συνεφωνήθη. τότε μέντοι, ὅτε καὶ ἐπὶ τόκῳ τὸ ἐνέχυρον ὑπετέθη. *Nam vſuræ citra ſtipulationem promiſſæ, petitionem nullam habent. Quum vero pignus datum eſt, retentio creditori, ſi quidem ita conuenit, conceditur. Et tunc quidem, quum etiam pro vſuris pignus obligatum eſt.*

Vide l. Quamuis 3. & l. Per retentionem 4. C. de vſuris. in qua Impp. aiunt, Per retentionem pignoris vſuras ſeruari poſſe, de quibus præſtandis conuenit, licet ſtipulatio interpoſita non ſit, merito conſtitutum eſt, & rationem habet: cum pignora conuentione pacti etiam vſuris obſtricta ſint. Hac ratione ad decidendam l. Pignori-

bus. 22. C. eod. etiam vtere. Corruptè in ed. ἐνέχυρον δὲ ὄντων. pro quo male Leunclau. in ora libri emendat, ἐνεχύρων δὲ ὄντων: non congruit enim cum sequentibus verbis, τότε μέντοι, ὅτε καὶ ἐπὶ τόκῳ τὸ ἐνέχυρον ὑπετέθη.

Ibid. pag. 249. cap. 65. sic emendandum, Ὁ μέντοι τόκος ἀπὸ συμφώνου, δύναται διὰ παρακατασχέσεως τοῦ ἐνεχύρου λαμβάνεσθαι παρὰ τοῦ δανειστοῦ. ἐὰν δὲ ἀντὶ τόκου πρόστιμον συμφωνήσῃ: οὐδὲ ἀγωγὴν ἔχει ἀπὸ τοῦ συμφώνου, ἀλλ' οὐδὲ παρακατάσχεσιν. *Vsuras quidem ex pacto debitas per retentionem pignoris a debitore quis consequi potest. Si vero pro vsuris de pœna conuenerit, nec petitionem ex pacto, nec retentionem pignoris habet.*

Vide l. Pignoribus quidem 22. C. de vsuris. Corruptè in ed. Ὁ μὲν τόκος ἀπὸ συμφώνου, δύναται διὰ κατασχέσεως ἐνέχυρον.

Ibid. pag. 250. cap. 69. sic restituendum, Ἐπὶ δὲ τῶν ναυτικῶν δανείων καὶ ἐπὶ τῶν δανειζομένων εἰδῶν εἴτε καρπῶν, ἐφ' ὧν τὸ παλαιὸν ἐξῆν πλείονα τόκον ἐπερωτᾶν, ἐπιτρέπει καὶ σήμερον ἐπερωτῆσαι πλείονα τόκον, μόνον μέντοι, ἕως ἑκατοστῆς καὶ μὴ περαιτέρω. μὴ βουλομένη μηδὲ διὰ παρακατασχέσεως ἐνεχύρων, μείζονα τόκον ἀναλαμβάνεσθαι. μήτε τοὺς δικαστὰς ποτὲ καταδικάζειν εἰς πλείονα τόκον προφάσει τῆς τῶν τόπων συνηθείας. εἰ δὲ τις μείζονα τόκον λάβῃ, εἰς τὸ κεφάλαιον αὐτὸν καταλογίζεσθαι. *In nauticis vero fœnoribus, & specierum siue fructuum mutuationibus, in quibus olim concessum erat maiores vsuras stipulari, permittit etiam hodie maiores vsuras stipulari: sed tan-*

tum vſque ad centeſimam, nec vlterius. ne quidem permittens, vt per retentionem pignoris vſuræ maiores accipiantur, nec vt iudices vnquam condemnent, in vſuras maiores, prætextu conſuetudinis locorum. Quod ſi quis maiores vſuras acceperit, vt in ſortem eæ computentur.

Vide l. eos qui 26. §. 1. C. de vſuris. Corruptè in ed. ἐπειδὴ καὶ τῶν. & πλείονα τόκον μόνον. pro quo male Leunclau. in ora libri emendat, πλείονα λαβεῖν τόκον μόνον. & μὴ βουλόμενοι. In MS. ad hæc verba, ἐπὶ δὲ τῶν ναυτικῶν adſcriptum hoc

ΣΧΟΛΙΟΝ.

Ἐνταῦθα μὲν ναυτικὸν λέγει τὸ δάνειον. ἐν δὲ τῷ ξϛ. κεφ. περὶ τὸ τέλος, διαπόντιον τοῦτο φησί. οὐ μόνον δὲ διαπόντιον κληθείη αὐτὸ πρὸς ναῦτην γινόμενον, ἀλλὰ καὶ τὸ πρὸς πάντα τῶν ἐπὶ πραγματεία πλέειν μέλλοντα.

Ibid. ad hæc eiuſdem. cap. verba τῶν λεγομένων κερατίων *adſcriptum hoc*

ΣΧΟΛΙΟΝ.

Χρὴ γινώσκειν, ὅτι τὸ ἓν κεράτιον, φόλλεις εἰσὶ ιϐ. ἤτοι μιλιαρησίου τὸ ἥμισυ. τὰ οὖν ιϐ. κεράτια, εἰσὶ νομίσματος ἥμισυ. τὸ γὰρ ἀκέραιον νόμισμα, ἔχει μιλιαρήσια δώδεκα, ἤτοι κεράτια κδ.

IN LIBRVM XXVI.

P*Ag. 263. tit. de conſtituentibus pro aliis ſoluere c. 3. addenda hæc ſunt in fine & ex MS. reponenda,*

Εἰ δὲ εἴποι, ΓΕΝΗΣΕΤΑΙ ΣΟΙ ΤΟ ΙΚΑΝΟΝ ΠΑΡ' ΕΜΟΥ, Η ΠΑΡΑ ΤΟΥΔΕ, Η ΤΟΥΔΕ, τηνικαῦτα τοῖς μὲν ὀνομασθεῖσι προσώποις κατὰ τὸ ὅμοιον τρόπον μὴ συναινοῦσι, μὴ δὲ ἐν γίνεσθαι πρόκριμα. αὐτὸν δὲ τὸν τοῦτο ἀντιφωνήσαντα, ἀκέραιον μὲν τὸ χρέος ἀναγκάζεσθαι καταβάλλειν. εἴ τινα δὲ κατὰ τῶν ὀνομασθέντων προσώπων νομίζοι ἑαυτῷ ἁρμόζειν ἀγωγὴν, ταύτην κατὰ τοὺς νόμους κατ' αὐτῶν προτεθεῖναι, καὶ τῆς τῶν νόμων βοηθείας ἀπολαύειν. *Si autem dixerit*, FIET TIBI SATIS A ME, AVT AB HOC, AVT AB ILLO, *tunc nominatis quidem simili modo non consentientibus nullum fieri praeiudicium: ipsum autem qui hoc promiserit, integrum quidem debitum cogi persoluere. Si quam autem contra nominatas personas putauerit sibi actionem competere, eam secundum leges aduersus eos proponere, & legum auxilio potiri.*

Vide Nou. cxv. cap. vi. in qua hæc eadem verba leguntur: & in Veteri eiusdem interpretatione, quod obiter dicere liceat, restitue suo loco transpositam ab antiquario hanc periodum, *Si quis autem dixerit*, FIET TIBI SATIS: *cum tali verbo, vt impersonaliter dicto, tanquam si nihil promiserit, ita ab omni exactione liberum seruari.* Absurdum namque est in Græco textu constitutionis ex enumeratis modis constituendæ pecuniæ seu promittendæ hunc esse secundum, vltimum vero in veteri interpretatione.

Ibid. cap. 33. Αἱ ἀπατῶσαι βοηθοῦνται ἐν ἑκάστῃ. καὶ ὅτι ἄλλον διεκδικοῦσιν . . . . οὔτι. γὰρ ἐπιτί-

τρατῆαι γυναικὶ δικάζειν, ὅτι τ̀ ἴδιον ἄνδρα, ὅτι τ̀ ὑιὸν, ὅτι τ̀ πατέρα. Restituendum ex MS. & legendum, Αἱ ἀπατώμεναι, ἐ μὴν αἱ ἀπατῶσαι βοηθοῦνται ἐν ἑκάστῃ ἐνοχῇ. καὶ ὅτι ἄλλον δικάζουσιν. ὅτι γὰρ ἐπιτέτραπται γυναικὶ δικάζειν ὅτι τ̀ ἴδιον ἄνδρα, ὅτι τὸν ὑιὸν, ὅτι τὸν πατέρα. Deceptis, non decipientibus in omni obligatione subuenitur. Etiam quum alium defendunt. Nec enim permissum est mulieri defendere, neque maritum, neque filium, neque patrem.

Vide l. Et primo quidem 2. D. ad SC. Velleianum. in qua huius rescripti diui Pij & Seueri ratio hæc elegans redditur, infirmitas enim fœminarum, non calliditas auxilium demit. Huic omnino similis est ea quæ redditur ab Alexandro Imp. in l. si sine voluntate 5. C. ad SC. Velleianum, ideo tibi non succurretur senatusconsulto, quo infirmitati, non calliditati mulierum consultum est. Namq; si, vt aiunt Impp. in l. fœminis. 18. C. eod. creditor aliqua ratione per mulierem deceptus sit, tunc replicatione doli, Senatusconsulti exceptionem remoueri, constitutum est.

Etiam quum alium defendunt] Ratio sumi potest ex d. l. Et primo quidem 2. in fin. quia si mulier defensor alicuius extiterit, proculdubio intercedit: suscipit enim in se alienam obligationem. quippe cum ex hac re subeat condemnationem.

Ibid. pag. 264. post 61. caput sequitur, ξϐ. ἐὰν μὴ ἴδῃ ὁ πρὸς τ̀ ἄνδρα συναλλάξας. . . . . εἰ δὲ γυνὴ ὁρῶσα τ̀ ἄνδρα τὰ ἴδια ὑποτιθέμενον ἐσιώπησεν ἐπὶ-

τηδές, ὡς ἀπαιτῆσαι βουλομένη τὸν συναλλάξαντα τῷ ἀνδρί: τότε οὐ βοηθεῖται. ταῖς γὰρ ἀπατωμέναις γυναιξὶ βοηθεῖ τὸ δόγμα. *Restituendum ex MS. & legendum,* ἐν δὲ τῷ ζη. κεφ. Ἐὰν μὴ ᾔδει ὁ πρὸς τὸν ἄνδρα συναλλάξας. ἡ δὲ γυνὴ ὁρῶσα τὸν ἄνδρα τὰ ἴδια ὑποτιθέμενον, ἐσιώπησεν ἐπιτηδές, ὡς ἀπατῆσαι βουλομένη τὸν συναλλάξαντα τῷ ἀνδρί, τότε οὐ βοηθεῖται. ταῖς γὰρ ἀπατωμέναις γυναιξὶ βοηθεῖ τὸ δόγμα, οὐ ταῖς πανούργοις. *Si nescierit is, qui cum marito contraxit. vxor vero videns maritum res suas obligantem, de industria tacuerit, veluti decipere volens eum, qui cum marito contrahit: nequaquam ei subuenitur. Mulieribus enim deceptis non callidis senatusconsultum succurrit.*

Vide l. Si sine voluntate 5. C. ad SC. Velleiarum, in qua, patientiam præstitit, eleganter dicitur, pro ἐσιώπησεν ἐπιτηδές.

Post hoc caput sequuntur hæc duo capita quæ in ed. desunt.

Ἐν δὲ τῷ οδ. κεφ.

Καὶ συνισταμένου τοῦ γάμου, δύναται ἡ γυνὴ παραχωρῆσαι τῷ ἀνδρὶ τὰς ὑποθήκας ἃς ἔχει κατ' αὐτοῦ. Καὶ οὐ κεκώλυται ἡ τοιαύτη δωρεά, ὡς ἐν συνεστῶτι τῷ γάμῳ. οὐδὲ γὰρ ἐστι δωρεά, ἐξ ἧς οὐδὲν ἡ γυνὴ ζημιοῦται, δυναμένη διὰ τῆς προσωπικῆς ἀγωγῆς ἀπαιτῆσαι τὸ χρέος. *Etiam constante matrimonio mulier remittere potest marito hypothecas quas habet contra ipsum. Nec prohibetur huiusmodi donatio, vt constante matrimonio facta. Non enim est donatio, ex qua mulier nullam iacturam facit, cum personali actione debitum exigere possit.*

Vide l. Etiam constante vi. C. ad SC. Vell. & l. Lucius Titius xi. D. Quib. mo. pign. vel hypoth. soluitur, in qua IC. Paulus respondet, pignoris quidem obligationem prædiorum Gaiam Seiam quæ viro pro filia communi in dotem eadem danti consensit cum communis filiæ nomine darentur, remisisse videri. obligationem autẽ personalem perseuerasse.

Ἐν δὲ τῷ πδ. κεφ.

Ἡ διάταξις βούλεται, δύνασθαι ἀποτάττεσθαι τὴν γυναῖκα τῶν ἁρμοζούσαις αὐτῇ ὑποθήκαις, καὶ παραχωρεῖν ἑτέρῳ δανειστῇ ταύτας, εἴτε ἐπὶ ἑνὶ συναλλάγματι, εἴτε ἐπὶ πολλοῖς, εἴτε ἐπὶ ἑνὶ προσώπῳ, εἴτε ἐπὶ πολλοῖς. Καὶ ἰσχύειν ταύτην τὴν συγχώρησιν τῆς γυναικὸς, ἐπὶ ἐκείνοις μόνοις ἐφ' οἷς καὶ γέγονε, καὶ μὴ περαιτέρω. *Constitutio iubet, mulierem posse hypothecis sibi competentibus renuntiare, & ipsas alteri creditori remittere, vel pro vno contractu, vel pro multis, vel pro vna persona, vel pro multis. Et remißionem hanc a muliere factam valere, pro illis solis pro quibus facta est, & non vltra.*

Vide l. Iubemus licere 21. C. ad SC. Velleianũ.

Ibid. ad hoc cap. 77. verbum, βοηθεῖται *adscribendum hoc*

ΣΧΟΛΙΟΝ.

Εἰ δὲ ἐκληρονόμησε τὸν ἄνδρα, ἴυρε ἐρεδιταρίῳ ἀπαιτεῖται.

Vide l. Mulierem 14. C. ad SC. Velleianum.

Ibid. ad hac cap.85. verba, Ἐὰν ἀντιφωνήσασα (*sic leg. non* ἀντιφωνήσα, *vt in edit.*) γυνὴ, μετ' δύο ἔτη *adscribendum hoc*

ΣΧΟΛΙΟΝ.

Μὴ δόξῃ σοι ἀλόγιστος ὁ χρόνος τῆς διετίας. ἐξ ὑποδείγματος γὰρ τῆς ἀνδρογυνείας εἰσηνέχθη, ἵνα ὥσπερ ἐπ' αὐτῆς ἡ τῆς διετίας παραδρομὴ βεβαιοῖ τὴν ἐξ ἀρχῆς ἀνυπόστατον ἀγορὰν, οὕτω καὶ ἐνταῦθα εἰ τελείας τῆς ἡλικίας ἐστὶν ἡ γυνή. ἀφῆλιξ γὰρ οὖσα καὶ οὕτω βοηθεῖται.

Post cap.85. sequitur in MS. hoc quod in edit. deest.

Κεφ. ξϛ. τοῦ αὐτοῦ ζ. τιτλ.

Ἡ προσωπικῶς χρεωστοῦσα γυνὴ, καὶ μὴ ὑπὲρ ἄλλου πρὸς ἔνοχος γινομένη, οὐκ ἔχει τὴν τοῦ βελλιανείου παραγραφήν. ὁμοίως δὲ καὶ ὑπὲρ τοῦ ἰδίου δανειστοῦ ἔνοχος γινομένη, πάλιν οὐκ ἔχει τὴν παραγραφήν. τότε γὰρ μόνον χώρα τῷ δόγματι, ὅτε μηδὲν χρεωστοῦσα ὑπὲρ ἀλλοτρίας ἐνοχῆς ἑαυτὴν παρενέβαλε. τουτέστιν, οὔτε κατὰ τοῦ ἰδίου δανειστοῦ τὴν παραγραφὴν ἔχει ὡς προσωπικῶς αὐτῷ χρεωστήσασα, ἀλλ' οὐδὲ κατ' ἐκείνου ᾧ ἐδόθη, ὡς ὑπὲρ δανειστοῦ δοθεῖσα. *Mulier principaliter debitrix nec pro alia quodam obligata, non habet Velleiani exceptionem. Similiter vero & qua pro suo creditore obligata est, non habet exceptionem. tunc enim solum locus est senatusconsulto, cum nihil debens pro aliena obligatione seipsam interposuit. hoc est, neque contra suum creditorem exceptionem habet vt principaliter ipsius debitrix, sed neque contra eum cui delegata est, vt pote pro creditore delegata.*

Vide l. Frustra senatusconsulti exceptione 2. C. ad SC. Velleianum.

IN LIBRVM XXVIII.

P*ag. 267. tit. de sponsalibus ad hæc cap. 22. verba* κερδαίνειν τοὺς ἀρραβῶνας *adscribendum hoc*

ΣΧΟΛΙΟΝ.

Ἐνταῦθα μὲν ζημιοῦσθαι καὶ ἐκπίπτειν τῶν ἀρραβώνων λέγει ὁ νόμος τὸν ἄρχοντα. ἐν δὲ τῷ ιθ. κεφ. τοῦ δ. τιτ. τοῦ κη. βιβλ. τὸν ὀφφίκιον ἐν ἐπαρχίᾳ στρατεύοντα, ἀπολαμβάνει τοὺς ἀρραβῶνας, ἐὰν ἡ μνηστευθεῖσα γυνὴ μετὰ τὴν ἀπόθεσιν τοῦ ὀφφικίου οὐ θέλει γαμηθῆναι αὐτῷ, ὅτι τὸν μὲν στρατεύοντα τὸ ὀφφίκιον, μὴ πάνυ δυνάμενον ἐκφοβεῖν θεματίζει, τὸν δὲ ἄρχοντα καθ' ὑπερβολὴν εἶναι φοβερὸν τίθεται.

Vide l. Si quis in potestate. vn. C. Si rector prouinciæ vel ad eum pertinentes sponsalitia dederint.

Ibid. pag. 269. tit. de donationibus sponsaliciis post tit. 7. cap. 15. Sequitur hoc caput quod in ed. deest

Ἀνάγνωθι καὶ βιβλ. δ. τιτ. α. κεφ. θ. ἐν ᾧ φησί.

Μνηστείας δὲ μεταξύ τινων γινομένης κατὰ νόμον, εἴτε ὁ μνηστὴρ εἰς μοναστήριον εἰσέλθῃ, ἀπολαμβανέτω τὰ ὑπὲρ τῆς μνηστείας ἀρραβώνων ὀνόματι δεδομένα. εἴτε ἡ μνηστὴ τὸν μοναχικὸν βίον ἐπιλέξεται, ἐκεῖνα μόνον ἀποδιδότω, ἀπ-

να ὁμοίως ἀῤῥαβώνων ὀνόματι ἔλαβεν, τῆς ποινῆς ἑκατέρῳ μέρει συγχωρουμένης.

Legito & librum IV. tit. I. cap. IX. in quo dicitur.

Sponsalibus inter quosdam secundum legem factis, siue sponsus monasterium ingrediatur, ea quæ pro sponsalibus arrarum nomine data sunt, recipiat: siue sponsa monasticam vitam elegerit, illa solummodo reddat quæ similiter arrarum nomine accepit, pœna vtrique parti remissa.

Vide Nou. 123. cap. 39. In edit. legitur hoc caput in tit. de sponsalibus, ad quod Scholiastes monet idem dici cap. IX. tit. I. lib. IV. quod inuenitur in titulo, de donatione dotis. quare ex MS. recte additũ a nobis hoc in loco nemo negabit.

Ibid. cap. 12. sic legendum ex MS. Ἐὰν μνηστὴρ μνηστῇ δωρήσηται δοῦλον, καὶ περὶ τὸ κυριευθῆναι διὰ χρήσεως ὑποδέξηται αὐτὸν ἐν τῇ προικὶ, καὶ λυθῇ ὁ γάμος, ἀποκαθίστησιν αὐτόν. *Si sponsus sponsæ seruum donauerit, eumque in dotem acceperit ante vsucapionem, ac solutum fuerit matrimonium, seruus restituitur.*

Vide l. Cum sponsus 12. D. de Public. in rem act. In ed. leg. κυριευθῆναι pro quo Leuncl. in marg. reposuit κυρωθῆναι.

Ibid. pag. 270. tit. de legitimis nuptiis cap. 53. sic legitur in MSS. vt & in ed. Ἀλλ' ὅτι τῶν ὑπεξουσίων καὶ ἕτερόν τι ζητοῦμεν, συναίνεσιν εἶναι τῶν γονέων, ὧν ὑπεξούσιοι

εἰσὶν οἱ συναπτόμενοι. τοῦτο γὰρ χρὴ γίνεσθαι, καὶ ὁ πολιτικὸς καὶ ὁ φυσικὸς ἀπαιτεῖ λογισμός. *Ceterum in filiisfamilias & aliud quiddam requirimus, nempe consensum parentum, in quorum potestate sunt ij, qui matrimonio coniunguntur. hoc namque fieri debet, & ciuilis & naturalis ratio postulat.*

Vide §.1. Instit. de nuptiis. Leuncl. in ora libri emendat, χρῆναι. In MS. ad hæc verba καὶ ὁ πολιτικὸς adscriptum hoc

ΣΧΟΛΙΟΝ.

Ὁ πολιτικὸς μὲν, διὰ τὸ τῶν ῥωμαίων ἴδιον, τουτέστι τὴν ὑπεξουσιότητα. Ὁ φυσικὸς δὲ, ἐπειδὴ δίκαιον τοὺς μέχρι τοιαύτης ἡλικίας ἀναθρέψαντας, ταύτης ἀξιοῦσθαι τῆς τιμῆς.

Ibid. pag. 271. cap. 54. sic restituendum. Τὸν γάμον διάθεσις ἀμοιβαία ποιεῖ, τῆς τῶν προικώων οὐκ ἀεὶ ἐπιδεομένη προσθήκης. δεῖ οὖν τοὺς μεγάλοις μὲν ἀξιώμασι κεκοσμημένους μέχρι πρωτοσπαθαρείων, μὴ ἄλλως γάμοις προσομιλεῖν, εἰ μὴ προικῷα συγγράψαιεν συμβόλαια. πλὴν εἰ μή τις πρὸ τοῦ τυχεῖν τῶν τοιούτων ἀξιωμάτων, ἐκ μόνης διαθέσεως ἠγάγετο γαμετήν. *Nuptias affectio mutua facit, accessione dotalium instrumentorum non semper egens. Oportet autem magnis ornatos dignitatibus, vsque ad protospatharios, non aliter matrimonia contrahere, nisi nuptialia instrumenta conscripserint. extraquam si quis ante, quam huiusmodi dignitates consequeretur, ex adfectione sola duxerit vxorem.*

Vide Nou. 22. cap. 3. & Nou. 117. cap. 4. Corruptè in ed. δεῖ δὲ τοὺς μεγάλου μὲν ἀξιώματος κεκοσμη-

μένοις μέχρι σπαθαρείων. In vulgata ed. Nouel. deest particula ἀεὶ, & legitur τῆς τῶν προικώων γε οὐκ ἐπιδεομένην προσθήκης, *dotalium non egens augmento.* quod notandum, vt & μέχρι ἰλλουστρίων, pro μέχρι πρωτοσπαθαρείων.

Ibid. pag. 271. cap. 55. sic emendandum, Τὸν μὲν νόμον δι' οὗ αἱ τῶν γυναικῶν συζυγίαι, ἃς ὁ αὐτὸς νόμος εὐτελεῖς ἐκάλεσε, πρός τινας ἀξιώμασι κεκοσμημένους κωλύονται, οὐδενὶ παντελῶς τρόπῳ κρατεῖν συγχωροῦμεν, ἀλλ' ἄδειαν τοῖς βουλομένοις παρέχομεν, εἰ καὶ οἱοισδήποτε μεγάλοις ἀξιώμασι κοσμοῖντο, τὰς τοιαύτας γυναῖκας μετὰ προικώων συμβολαίων ἑαυτοῖς συνάπτειν. οἱ δὲ λοιποὶ παρὰ τοὺς τοῖς μεγάλοις ἀξιώμασι κεκοσμημένους, ἄδειαν ἐχέτωσαν τὰς τοιαύτας γυναῖκας λαμβάνειν, εἴτε ἐγγράφως βουληθεῖεν, εἴτε μόνῃ διαθέσει γάμου, εἰ μέντοιγε ἐλεύθεραι εἴησαν, καὶ μεθ' ὧν ἔξεστι γάμον ἐπιτελεῖσθαι. *Legem illam, qua coniugia mulierum, quas ipsa lex viles appellauit, cum viris dignitatibus ornatis prohibentur, prorsus nullo modo ratam esse permittimus: sed licentiam facimus iis, qui volunt, etiamsi quibuscumque magnis dignitatibus condecorentur, eiusmodi mulieres instrumentis nuptialibus interuenientibus, sibi copulandi. Reliqui vero, præter hos amplis ornatos dignitatibus, huiusmodi mulieres ducendi facultatem habeant, siue id scriptura voluerint interueniente fieri, siue sola nuptiarum adfectione: modo liberæ sint, & cum quibus celebrare liceat.*

Corruptè in ed. legitur, εὐτελεῖς ἐκέλευσε, & ἐλεύθεροι εἴησαν. Vide Nou. 117. c. 6. vbi dicitur, τὸν δὲ Κωνσταντίνου τοῦ τῆς εὐσεβοῦς λήξεως νόμον τὸν πρὸς Γρηγόριον γεγραμ-

μένον, καὶ τὴν ἐπ' αὐτῷ γεγραμμένην ἑρμηνείαν ὑπὸ Μαρκιανοῦ τοῦ τῆς εὐσεβοῦς λήξεως (δι' ὧν αἱ τῶν γυναικῶν συζυγίαι, ἃς ὁ Κωνσταντίνου νόμος εὐτελεῖς ἐκάλεσεν, πρός τινας ἀξιώμασι κεκοσμημένους κωλύονται) οὐδενὶ παντελῶς τρόπῳ κρατεῖν συγχωροῦμεν. *Constantini vero piæ memoriæ legem ad Gregorium scriptam, & super ea factam interpretationem a Martiano piæ memoriæ, per quam mulierum coniunctiones (quas Constantini lex abiectas vocauit) ad quosdam dignitatibus decoratos, prohibentur: penitus nullo modo valere permittimus.* Εὐτελεῖς autem siue viles, siue abiectas, siue humiles mulieres vocat lex Constantini ad Gregorium scripta, quæ est l. Senatores 1. C. de naturalibus liberis, & matribus eor. ancillas vel ancillarum filias, libertas vel libertarum filias, tabernarias vel tabernariarum filias, lenonis, aut arenarij filiam, & eam quæ mercimoniis publice præfuit. Scholiastes in marg. MS. notat esse, τὰς πόρνας, τὰς ἐν ἐργαστηρίοις, καὶ τὰς σκενικάς. In MS. ad hæc verba, εἰ μέντοιγε ἐλεύθεραι adscriptum hoc

ΣΧΟΛΙΟΝ.

Ἐλεύθεραι εἶπε, διὰ τὰς ἀπελευθέρας. ἐπειδὴ δὲ εἰσὶ καὶ ἐλεύθεραι ὧν ὁ γάμος οὐκ ἐπιτέτραπται, οἷον τῶν ἐπὶ θρησκείᾳ ἀλλοτρίως ἐγχουσῶν, ἢ ἀνήβων, ἢ ἐπιτροπευομένων, καὶ ἄλλων τοιούτων. προσετέθη δὲ μεθ' ὧν ἔξεστι γάμον ἐπιτελεῖσθαι. Ἰστέον ὅτι ἡ πρὸς γάμον συνάφεια τῆς συγγενείας μέχρις ὀγδόου βαθμοῦ κωλύεται. ἡ δὲ ἐξ ἀγχιστείας, ἄχρις ἑβδόμου. ἐπὶ μέντοι τοῦ ζ. συγγενείας, εἰ μὲν φθάσειε γενέσθαι ὁ γάμος. οὐ λύεται, ἐπιτιμᾶται δέ. εἰ δὲ πρὶν γενέσθαι γνωσθῇ, κωλύεται μὴ παραχωρούμενος. περὶ δὲ ς. βαθμοῦ τοῦ ἐξ

ἀγχιστείας, ἐγένετο στάσις, καὶ ἐκωλύθη παρὰ τῆς συνόδου, καὶ ἀλεξίου βασίλειος τοῦ κομνηνοῦ θεσπίσαντος, ἀπὸ δεκεμβρίου μηνὸς τοῦ η. ἔτους τῆς βασιλείας αὐτοῦ, ἰνδικτιῶνος οὔσης ιβ. συντηρεῖσθαι τὸν ς. βαθμὸν τὸν ἐξ ἀγχιστείας, ὥστε μὴ συνάπτεσθαι κατ' αὐτὸν γάμον, καὶ μὴ παρορᾶσθαι τοῦτο. καθὼς καὶ ἐπὶ τῷ γάμῳ βάρδεως ξηροῦ τοῦ κατωζοῦ, ὅστις γάμος στάσεως τοῖς μητροπολίταις γέγονεν ἀφορμή. ζτ. καὶ βιβλ. με. τιτλ. γ. κεφ. δ. Ὁ τόμος τοῦ πατριάρχου σισινίου, κωλύει, συνάπτεσθαι ἀδελφοὺς δύο, πρωτεξαδέλφαις ἑτέρου γένους. ὡσαύτως καὶ θεῖον καὶ ἀνεψιὸν, ἀδελφαῖς δύο. καὶ τὸ ἀνάπαλιν, ἀδελφὰς δύο, πρωτεξαδέλφοις, καὶ ἀδελφοὺς δύο, θείᾳ καὶ ἀνεψιᾷ.

Ibid.pag.272. tit. de incestis nuptiis.cap.24. Ἐπὶ τῶν ἀθεμίτων γάμων, οὔτε προὶξ, οὔτε τὰ ἐπιδοθέντα δοκεῖ . . . . καὶ διὰ τοῦτο πᾶν ὅπερ ἐκ τῶν ἐπιδοθέντων λόγῳ προικὸς ἔλαβεν ὁ δῆθεν ἀνὴρ, ἀφαιρεῖται παρ' αὐτοῦ: κἂν τὰ μάλιστα καρποὺς ἔτυχεν εἰληφώς. Legitur in MS.fine lacuna. Ἐπὶ τῶν ἀθεμίτων γάμων, οὔτε προὶξ, οὔτε τὰ ἐπιδοθέντα δοκεῖ. καὶ διὰ τοῦτο πᾶν ὅπερ ἐκ τῶν ἐπιδοθέντων λόγῳ προικὸς ἔλαβεν ὁ δῆθεν ἀνὴρ, ἀφαιρεῖται παρ' αὐτοῦ: κἂν τὰ μάλιστα καρποὺς ἔτυχεν εἰληφώς. *In nuptiis incestis neque dos, neque donata videntur. & ideo quidquid ex donatis dotis nomine vir accepit, aufertur ab eo, licet fructus forte perceperit.*

Vide l.Inceftæ nuptiæ 52.D.de ritu nupt.Nullam lacunam in hoc textu eſſe probari poteſt ex his non diſſimilibus verbis Iuſtiniani Imp.lib.1. Inſtit.tit.de nuptiis. Si aduerſus ea,quæ diximus, aliqui coierint:nec vir,nec vxor,nec nuptiæ,nec matrimonium, nec dos intelligitur. id eſt, δοκεῖ.

In vno tamen ex MSS. scriptũ est, ἐπὶ τῶν ἀθεμίτων γάμων, ὅτε περὶ ξ εἶναι τὰ ἐπιδοθέντα δοκεῖ. καὶ διὰ τοῦτο, &c.

Ibid. pag. 274. ad hæc cap. 4. verba οὐ μόνον τὸ ἐπιτετραμμένον *adscriptum hoc*

ΣΧΟΛΙΟΝ.

Ἐν ταῖς συναφείαις τῶν γάμων, οὐ μόνον τὴν ἀκρίβειαν τοῦ νόμου σκοπεῖσθαι χρὴ, ἀλλ' εἰ καὶ σεμνόν ἐστι τὸ πραττόμενον. φησὶ γὰρ τὸ ρλθ. κεφ. τοῦ γ. τιτλ. τοῦ βιβλ. β. τῶν βασιλ. οὐ πᾶν ὅπερ ἔξεστιν, ἤδη καὶ εὐπρεπές ἐστιν. ἐάν τις γυνὴ τῷ ὑποπτευομένῳ μοιχῷ γαμηθῇ, οὐ κατηγορεῖται, πρὶν ἂν εἶναι μοιχὸς αὐτὸς ἐλεγχθῇ. ὡς τὸ ι. θεμ. τοῦ ια. κεφ. τοῦ λζ. τιτ. τοῦ ξ. βιβλ. καὶ κεφ. ε. ὥστε ὁ τοιοῦτος γάμος ἔρρωται.

Ibid. pag. 275. ad hæc cap. 17. verba, ἡ τεκοῦσα ἐν τῷ πενθίμῳ *adscriptum hoc*

ΣΧΟΛΙΟΝ.

Ἡ τεκοῦσα ἐν τῷ πενθίμῳ: τοῦτο ἐπὶ τῶν γυναικῶν, τῶν ἀτίμων ἀνδρῶν. ἡ μέντοι τεκοῦσα ἐν τῷ πένθει, κωλύεται γαμεῖν. τὸ μὲν γὰρ πένθος, ἐπὶ τῶν γυναικῶν τῶν ἐντίμων ἀνδρῶν λέγεται. τὸ δὲ πένθιμος, ἐπὶ τῶν ἀτίμων. ἡ μὲν οὖν γυνὴ τοῦ ἀτίμου, ἐφ' ἧς ὁ πένθιμος χρόνος λέγεται, μετὰ τὸ τεκεῖν, οὐ κωλύεται γαμεῖσθαι. οὐ γὰρ διὰ τὴν τιμὴν τοῦ τελευτήσαντος, πρὸ τοῦ γεννῆσαι, ἐκωλύετο αὐτὴ γαμεῖσθαι, ἀλλὰ διὰ τὴν τῆς γονῆς σύγχυσιν. ἡ δὲ τοῦ ἐντίμου γυνὴ, ἐφ' ἧς τὸ πένθος λέγεται, κἂν τέκῃ, ἀλλ' οὖν τὸν χρόνον ὀφείλει φυλάξαι. ἐπεὶ οὐ διὰ μόνην τὴν σύγχυσιν τῆς γονῆς κωλύεται, ἀλλὰ καὶ διὰ τὴν τιμὴν τοῦ τετελευτηκότος.

IN LIBRVM XXIX.

Tit. de dote pag.288. cap.85. sic restituendum, Ἡ διάταξις κελεύει, ἀπὸ πάσης ὁμολογίας ἀπαίτησιν ἔχειν τὴν προῖκα, κἂν μὴ προηγήσατο ἡ ἐπερώτησις. εἰ μὲν γὰρ ἁπλούστερον εἶπεν ὁ πατὴρ ὅτι δίδωσι προῖκα, ἢ προγαμιαίαν δωρεὰν, πάντως οἴκοθεν δίδωσι, μὴ ἁπτόμενος παντελῶς τῶν τοῦ παιδὸς πραγμάτων. ἐὰν δὲ εἴπῃ ἐκ τῶν ἰδίων καὶ τῶν τοῦ παιδὸς, εἰ μὲν ἄπορος αὐτός ἐστι παντελῶς, τὸ ὅλον ἐκ τῶν τοῦ παιδὸς παρεχέτω. εἰ δὲ ἔχει οὐσίαν ἀρκοῦσαν, τὸ ὅλον ἐκ τῶν ἰδίων διδότω. ἔδει γὰρ αὐτὸν, εἰ μὲν ἐβούλετο ἐκ τῶν δύο οὐσιῶν γενέσθαι τὴν τῆς προικὸς ἐπίδοσιν, ἢ τῆς προγαμιαίας δωρεᾶς, αὐτὸν μὲν ἅπερ ἐβούλετο οἴκοθεν ἐπιδοῦναι. συναινέσαι δὲ τῷ υἱῷ ἢ τῇ θυγατρὶ, παρεχομένης τῆς προγαμιαίας δωρεᾶς, ἐκ τῶν διαφερόντων αὐτοῖς πραγμάτων, ἡνίκα βουληθῶσι μέρος, ἢ τυχὸν πᾶσαν τὴν ἰδίαν οὐσίαν, ἣν ἔχοισι, τῇ πατρῴᾳ φρλοτιμίᾳ ὑπὲρ προικὸς ἢ προγαμιαίας δωρεᾶς συνάψαι, ἵνα τῇ ἀληθείᾳ δειχθῇ τί αὐτὸς βούλεται δοῦναι, καὶ τί ἐκ τῆς ὑποστάσεως τῶν παίδων ἐξέρχεται. *Constitutio iubet, vt ex quauis promissione petitionem dos habeat: etiamsi stipulatio non praecedat. Si namque pater simpliciter dixerit, se dare dotem vel donationem ante nuptias: omnino eam suis ex bonis præstat, res filij prorsus non attingens: Si vero tam ex suis, quam ex filij rebus dixerit, si quidem penitus inopia tentus est, totum ex filij rebus præbeto: sin idoneam substantiam poßidet, totum ex suis præstato. Nam oportebat eum, si volebat ex ambabus facultatibus constitui dotem vel donationem ante nuptias, ex suis quidem bonis præstare quæ vellet: consentire filio vel filiæ, dote*

vel donatione ante nuptias ex pertinentibus ad eos rebus præstanda, quando voluerint partem, vel totam forte substantiam suam, quam habent, paternæ liberalitati pro dote vel ante nuptias donatione aggregare: vt reuera appareat, quid ipse dare velit, & quid de substantia filiorum proficiscatur.

Vide l. Ad exactionem 6. & l. si pater dotem 7. C. de dotis promissione. in qua hanc constitutionis suæ rationem reddit Imp. Neque enim leges incognitæ sunt, quibus cautum est, omnino paternum esse officium, dotem vel ante nuptias donationem pro sua dare progenie. Liberalitas itaque talis remaneat pura & irreuocabilis, vt puto nomine & liberalitas & debitum suam sequantur fortunam. Sic in l. Capite 19. D. de ritu nupt. Marcianus ait, qui liberos, quos habent in potestate, iniuria prohibuerint ducere vxores, vel nubere: vel qui dotem dare non volunt, ex constitutione Diuorum Seueri & Antonini, per proconsules, præsidesque prouinciarum coguntur in matrimonium collocare, & dotare. prohibere autem videtur, & qui condicionem non quærit. Corrupte in ed. τὴν προῖκα εἰ μὴ προηγοῖτο ἡ ἐπερώτησις. Εἶπεν ἁπλούστερον. & παιδὸς πραγμάτων. εἰ μὴ ἄπορός ἐστιν αὐτὸς, παντελῶς τὸ ὅλον ἐκ τῶν τοῦ παιδὸς παρεχέτω. quod malè & contra mentem d. l. Leuncl. vertit, *si tamen inops est, omnino totum ex filij rebus præbeto.* Et ἔδει γὰρ, εἰ μὲν ἐβούλετο. & ἐκ τῆς ὑποθέσεως. In ora MS. adscriptum hoc, Ἐν τῷ ε. κεφ. τοῦ αὐτοῦ ε. τίτλ. τοῦ κθ. βιβλ. φησὶ, Ἐν μὲν τῷ ἐπιδιδόναι τὴν προῖκα, δύ-

ναι ὁ πατὴρ συμφωνεῖν ὅσα βούλεται. μετὰ δὲ τὸ ἀποδοθῆναι, δεῖ καὶ τὴν θυγατέρα τοῖς συμφώνοις συναινεῖν. εὐθέως γὰρ αὐτῇ προσαπορίζεται ἡ προῖξ.

Ibid. cap.98. sic restituendum, Τὸ ἀπὸ προικιμαίων νομισμάτων ἀγοραζόμενον, οὐκ ἔστι τῆς δεσποτείας τῆς γυναικός, ἀλλ' ἐὰν μέρος μόνον τῆς προικὸς ἐπανέλαβεν ἡ γυνὴ μὴ ὡς ἐπὶ διαλύσει, δύναται περὶ τοῦ ὑπολοίπου μέρους τῆς προικὸς ἐνάγειν. τὴν γὰρ δεσποτείαν τούτων τῶν πραγμάτων οὐκ ὀφείλει ἐκδικῆσαι. *Quod ex dotalibus nummis comparatum est, non est in vxcris dominio: sed si solum partem dotis mulier consequuta fuerit, non tanquam ex transactione, de residuo dotis agere poterit. quippe non debet harum ea rerum dominium vindicare.*

Vide l. Ex pecunia 12. C. de iure dotium. Ratio cur mulier rerum ex pecunia dotali a marito comparatarum, dominium sibi vindicare non possit, hæc est ex d. l. 12. quia neque maritus vxori actionem empti potest acquirere. At dotis tantum actio illi competit: quia res quæ ex dotali pecunia comparatæ sunt, dotales esse videntur. l. Res quæ 54. D. de iure dotium. De harum rerum vindicatione, vide quæ doctiss. Cuiacius notauit lib. 5. obser. cap. 29. d. l. 54. & similem Harmenopuli locum interpretans. Corrupte in ed. ἀλλ' ἐὰν μέρος τῆς προικὸς ἀλλ' λαβεν ἡ γυνὴ, ἢ ὡς διαλύσει. male Leuncla. in orá libri notauit emendandum, ἀλλ' ἐὰν μέρος τῆς προικὸς ἔλαβεν, καὶ οὐ διαλύσει.

Ibid. pag. 289. cap. 19. sic emendandum, Ἐὰν συμφω-

γηθῇ ἐξ ἀπαιδίας κερδάναι τὸν ἄνδρα τὴν προῖκα, καὶ ναυαγήσῃ ἡ γυνὴ μετ' ἐνιαυσιαίου παιδίου: δοκεῖ προτελευτᾶν τῆς μητρὸς ὁ παῖς, καὶ κερδαίνει ὁ ἀνήρ. *Si conuenerit, vt nullis superstitibus liberis dotem maritus lucretur : & mulier naufragio cum anniculo filio perierit: quia videtur infans ante matrem periisse, vir dotem lucratur.*

Vide l. Inter socerum 26.D. de pactis dotalibus, cuius interpretatio perspicua petenda ex l. 22. & 23. D.de rebus dubiis,in quibus Iurisconsulti Iauolenus & Caius aiunt, si cum pubere filio mater naufragio periit, cum explorari non possit, vter prior extinctus sit,humanius est credere filium diutius vixisse: si mulier cum filio impubere naufragio periit,priorem filium necatum esse intelligitur. debilior namq; est. Sic Vlp. in l. ex facto 17. §.7. ait, si filius naufragio, vel ruina,vel adgressu,vel quo alio modo simul cum patre perierit,nõ esse verum, filium superuixisse. Papinianus in d.l.26. dicit,verisimile videtur ante matrem infantem periisse. Corrupte in ed. μετ' ἐνιαυσίου παιδίου: δοκεῖ πρὸ τελευτῆς. pro quo Leuncl. emendat, προτελευτῆσαι.

Ibid. pag. 290. cap.59. sic restituendum, Ἀναθρεπτὴν ἔχουσα γυνὴ καὶ προῖκα ὑπὲρ αὐτῆς ἐπιδιδοῦσα, συνεφώνησε, διαλυομένου τοῦ γάμου, ἑαυτῇ ἀποδοθῆναι τὴν προῖκα. συνέβη ταύτην τὴν ἀναθρεπτὴν ἐν τῷ γάμῳ τελευτῆσαι, καὶ ἦλθεν ἡ προικίσασα αὐτὴν, βουλομένη τὴν προῖκα λαβεῖν κατὰ τὸ σύμφωνον. ὁ δὲ ἀνὴρ ἔλεγε μηδὲν χρεωστεῖν, διισχυριζόμενος γυμνὸν εἶναι τοῦτο τὸ σύμφωνον.

ἀπὸ γυμνοῦ δὲ συμφώνου, μηδενὶ τίκτεσθαι ἀγωγήν. προσῆλθεν οὖν ἡ γυνὴ βασιλεῖ ταῦτα διδάσκουσα, καὶ ἀντέγραψε πρὸς αὐτὴν ὁ βασιλεὺς οὕτως. Τὸ σύμφωνον ὅπερ ἐξεφώνησας ὅτε τὴν ὑπὲρ τῆς ἀναθρεπτῆς ἐδίδως, φυλαχθῆναι δεῖ, καὶ οὐδὲ ἀντικεῖσθαί σοι δύναται, ὅπερ εἴωθε λέγεσθαι, ἀπὸ ψιλοῦ συμφώνου ἀγωγὴν μὴ γίνεσθαι. τότε γὰρ τούτῳ τὸ νομίμῳ κεχρήμεθα, ὅτε τὸ σύμφωνον γυμνόν ἐστιν. ἐπεί, ὅτε πράγματα δίδοται, καὶ τίποτε περὶ ἀναδόσεως αὐτῶν συμφωνεῖται, χρήσιμός ἐστιν ὁ τῆς ἀπαιτήσεως λόγος.

Quum mulier alumnam haberet, ac dotem pro ea daret: pacta est, ut soluto matrimonio dos sibi redderetur. Accidit ut hæc alumna in matrimonio moreretur, venitque mulier, quæ eam dotauerat, volens dotem ex pacto repetere. Maritus autem nihil se debere dicebat, adfirmans hoc pactum esse nudum. Ex nudo autem pacto nemini actionem nasci. Eam ob causam mulier adito principe rem exposuit, eique princeps in hunc modum rescripsit. Pactum quod expreßisti, quum dotem pro alumna dares seruari oportet: nec obesse tibi potest, quod dici solet: ex nudo pacto actionem non nasci. tunc enim hoc iure vtimur, quum pactum nudum est, alioquin quum pecunia datur, & aliquid de ea reddenda conuenit; vtilis est condictio.

Vide l. Legem quam dixisti 10. C. de pactis. nec aliam speciem illius quære. Corrupte in ed. ὑπὲρ αὐτῆς ἀποδιδοῦσα, συνεφώνησε διαλυομένου . . . . ἑαυτῇ ἀποδοθῆναι τὴν προῖκα. Vitiose etiam in vno ex MSS. διαλυομένου τοῦ χρόνου, ἑαυτῇ ἀποδοθῆναι τὴν προῖκα. In MS. ad hæc verba, ὅτε τὸ σύμφωνον γυμνόν ἐστιν adscriptum hoc

ΣΧΟΛΙΟΝ.

Ὅτι τὸ σύμφωνον γυμνόν ἐστι. δόσεως δηλαδή: οἷον, ἐὰν συμφωνήσω ὅτι αὔριον δίδωμί σοι ν. νομίσματα: ἢ ὅτι αὔριον κτίζω τὸν οἶκόν σου, μηδεμιᾶς δόσεως προηγησαμένης μοι παρὰ σοῦ, οὐδεμία ἀγωγὴ τίκτεται κατ' ἐμοῦ.

Ibid. pag. 291. ad hæc cap. 20. verba, δόλου παραγραφὴ ἔνεστι τῇ ἀγωγῇ *adscriptum hoc*

ΣΧΟΛΙΟΝ.

Ἐνοῦσα τῇ ἀγωγῇ παραγραφὴ λέγεται, οἷον κατὰ δόλον ἠγόρασέν τις τὸ ἐμὸν πρᾶγμα. ἐπειδὴ δὲ ὁ δόλος καὶ ὁ φόβος ἐμποδίζει τῇ συστάσει τῇ καλῇ πίστει συναλλαγμάτων, ὡς βιβλ. ιθ. τιτλ. α. κεφ. ιζ. ἐν τέλει, παραγράφομαι τὴν ἀγορασίαν κινοῦντα κατ' ἐμοῦ νεμομένου τὸ πρᾶγμα, λέγων, ὅτι οὐδὲ ὅλως συνέστη πρᾶσις διὰ τὸν δόλον. καὶ οὕτω μὲν ὧδε ἐνοῦσα τῇ ἀγωγῇ ἡ παραγραφὴ, οὐδαμῶς αὐτὴν ἐξ ἀρχῆς εὐθὺς παραδέχεται. Μὴ ἐνοῦσα δὲ παραγραφή ἐστιν, ἥτις τὴν μὲν ἀγωγὴν δέχεται, τὴν δὲ καταδίκην ἀποδιώκει. οἷον, ἐδάνεισάς μοι νομίσματα, καὶ μετὰ ταῦτα, ἐποίησάς μοι σύμφωνον συγχωρητικόν. εἶτα ἐκίνησας ἀπαιτῶν με τὸ δάνειον. ἐγὼ δὲ ἀντιτιθείς σοι παραγραφὴν, τὴν μὲν ἀγωγὴν δέχομαι, τὴν δὲ καταδίκην οὐ παραδέχομαι, προβαλλόμενος τὸ συγχωρητικὸν σύμφωνον. Ἴσθι δὲ, ὅτι καὶ δύο εἴδη ἀντιλλόγων εἰσί. τὸ ὡς ἐν εἴδει καταβολῆς λογιζόμενον: οἷον, χρεωστῶ σοι δέκα νομίσματα: καὶ σὺ ὡσαύτως ἐμοὶ ἕτερα δέκα. ἀπαιτοῦντα οὖν τὰ σὰ, παραγράφομαί σε, τὰ χρεωστούμενά μοι παρὰ σοῦ προβαλλόμενος: καὶ ἀντιλογίσασθαί σοι ταῦτα εἰς καταβολὴν τῶν σῶν νομισμάτων

ἐπιζητῶν. καὶ οὗτος μὲν ὁ ἀντέλλογος ὡς ἐν εἴδει καταβολῆς: εἰμὶ γὰρ ὡς καταβεβληκώς. θάτερον δὲ εἶδος ἀντέλλογον ἐστι, τὸ ὡς ἐν εἴδει παρακαταθέσεως. οἷον, κατέχω καλῇ πίστει τὸ σὸν πρᾶγμα, ὡς κληρονόμος τυχόν. σὺ δὲ διανικᾶς, ἐκνικᾷς ἤδη αὐτὸ ὡς ἀληθὴς κληρονόμος. οὐκ ἄλλως οὖν ἀντιστρέψω σοι αὐτὸ ἀπαιτοῦντι, εἰ μὴ καταβληθῇ μοι καὶ παρὰ σοῦ, ἅπερ ἴσως περὶ αὐτὸ ἐδαπάνησα, ὡς φησὶ τὸ ζ. κεφ. τοῦ δ. τιτλ. τοῦ κδ. βιβλ. ὅθεν καὶ ὡσεὶ ἡ τούτων καταβολὴ γένοιτό μοι, παρακατέχω τὸ πρᾶγμα, δυνάμενος δεσπόσαι μέρος αὐτοῦ κατὰ ἀναλογίαν ὧν περὶ αὐτὸ ἐδαπάνησα. Ἰστέον δὲ καὶ τοῦτο, ὅτι πᾶσα προῖξ ἡ διατετιμημένη ἐστὶν, ἢ ἀδιατίμητος, ἢ διατετιμημένοαδιατίμητος. περὶ μὲν οὖν τῆς ἀδιατιμήτου, ἐπειδὴ αὐτὰ τὰ πράγματα χρεωστεῖ ἀναδιδόναι ὁ ἀνὴρ, ἐάν τι δαπανήσῃ ἀναγκαίως περὶ τὴν τοιαύτην προῖκα, χώραν ἔχει, ὡς ὁ ἐν παρακαταθέσει ἀντέλλογος: παρακατέχει γὰρ ὁ ἀνὴρ τὰ προικιμαῖα, ἄχρις ἂν καταβληθῶσιν αὐτῷ τὰ ἀναγκαῖα δαπανήματα. Ἐπὶ δὲ τῆς διατετιμημένης, εἰ γένηται ἡ δαπάνη περὶ τὸν πατέρα τῆς γυναικὸς ἤ τινας συγγενεῖς πρὸς ἀνάρρυσιν τυχὸν ἀπὸ αἰχμαλωσίας: ἢ εἰς ἀποτροφὴν παίδων ἐξ ἄλλου συνοικεσίου ὄντων τῇ γυναικί: ἢ ἁπλῶς εἰπεῖν, ἐπί τινι αἰτίᾳ ὡς φησὶ τὸ παρὸν κεφ. ἀδύνατον γὰρ θεματίσαι δαπάνην περὶ αὐτὰ τὰ διατετιμημένα πράγματα γεγενημένην, καὶ δι᾽ αὐτὴν ἀντέλλογον: διὰ τὸ τὸν ἄνδρα δαπανῶντα περὶ αὐτὰ, περὶ ἴδια δαπανᾶν ὡς ἀγοραστὴν τούτων ὄντα, χώραν ἔχει. ὡς ὁ ἐν εἴδει καταβολῆς ἀντέλλογον. ὡσαύτως δὲ ἐπὶ τῶν διατετιμημένοαδιατιμήτων προικῴων, ὅταν ὁ ἀνὴρ δαπανήσῃ περὶ τὰ διατετιμημένοαδιατίμητα προικιμαῖα πράγματα, εἰ μὴ καταβληθῶσιν αὐτῷ τὰ δαπανήματα, πᾶσαν ἀντιστρέφειν τὴν προῖκα. εἰ δὲ μὴ παρακρατεῖ ἐκ τῆς προικὸς κατὰ δεσποτείαν μέρος,

τοῖς δαπανήμασιν ἰσοστάσιον. ἐν τῷ παρόντι τοίνυν κεφαλαίῳ, νοητέον τὴν προῖκα ἐξ ἀνάγκης, ἢ διατετιμημένην, ἢ διατετιμημένην ὡς ἀδιατίμητον. διὰ τὸ ἔχειν χώραν τὸ ὡς ἐν εἴδει καταβολῆς ἀντέλλογον. ἀπαιτῶν οὖν τὴν προῖκα πᾶσαν ὁ πενθερὸς, ἀκούσεται ὅτι δόλον ποιεῖς. οὐ γὰρ σώζεταί σοι ἡ ἀγωγὴ ἐπὶ πάσῃ τῇ προικὶ, ἀλλὰ κατὰ τοσοῦτον μέρος ἐφθάρη σοι, ὅσον ἦσαν τὰ δαπανήματα: ὅθεν καὶ οὕτω πρὸς τὴν πρότασιν ἀπομαχομένη ἡ τοῦ δόλου παραγραφὴ ἔνεστι τῇ περὶ προικὸς ἀγωγῇ.

Ibid. cap.68. ſic reſtituendum. Καὶ συνεστῶτος τοῦ γάμου, τῇ μὴ ἀπολυούσῃ γαμετῇ, δύναται ἡ προῖξ ἐκ τούτων καταβάλλεσθαι τῶν αἰτιῶν, οἷον ἵνα ἑαυτὴν καὶ τοὺς ἰδίους θρέψῃ, ἵνα ἀγρὸν ἐπιτήδειον ἀγοράσῃ, ἵνα τὸν ἐξορισθέντα πατέρα θρέψῃ, ἢ τὸν ἄνδρα, ἢ τοὺς ἀδελφοὺς πενομένους. *Manente matrimonio, non perdituræ vxori dos ob has cauſſas ſolui poteſt, vt ſeſe ſuoſque alat, vt fundum idoneum emat, vt patri relegato alimonia præſtet, vel marito, vel fratribus egentibus.*

Vide l.Mutus, ſurdus 73.§.1.D.de iure dotium. Corrupte in ed. Τῇ μὴ ἀπολλυούσῃ γαμετῇ, δύναται ἡ προῖξ.

Jbid. pag.293.lib.9.tit.7. cap.18. ſcriptum eſt, Τὸ προνόμιον ὅπερ ἔχουσιν αἱ γυναῖκες ἐν τῇ ἀπαιτήσει τῆς προικὸς, εἰς κληρονόμους αὐτῶν οὐ διαβαίνει. . . . . *Reſtituendum ex MS. & ſcribendum,* Τὸ προνόμιον ὅπερ ἔχουσιν αἱ γυναῖκες ἐν τῇ ἀπαιτήσει τῆς προικὸς, εἰς κληρονόμους αὐτῶν οὐ διαβαίνει, πλὴν εἰς παῖδας. *Priuilegium quod mulieres in exactione dotis habent, ad*

heredes earum non transit, extra quam ad liberos.

Ibid. pag. 297. *cap.* 12. Ἀναγκαῖα δαπανήματά ἐστιν, ὧν μὴ γινομένων, ἡ προὶξ μειοῦται· οἷον παραχώματα ποιῆσαι, ποταμοὺς ἀποστρέψαι, οἶκον ὑποορθῶσαι καὶ ἀνανεῶσαι, ἀντὶ τῶν ἀποθανόντων δένδρων ὑποβαλεῖν ἕτερα .... τὸ εἰσαγαγεῖν θρέμματα πρὸς τὸ κοπρίσαι τὸν ἀγρόν. *Reponendum vt in MS. & legendum.* Ἀναγκαῖα δαπανήματά ἐστιν, ὧν μὴ γινομένων, ἡ προὶξ μειοῦται. οἷον παραχώματα ποιῆσαι, ποταμοὺς ἀποαποστρέψαι, οἶκον ὑποορθῶσαι καὶ ἀνανεῶσαι, ἀντὶ τῶν ἀποθανόντων δένδρων ὑποβαλεῖν ἕτερα. Ἐπωφελῆ, τὸ εἰσαγαγεῖν θρέμματα πρὸς τὸ κοπρίσαι τὸν ἀγρόν. *Impensæ necessariæ sunt, quibus non factis dos imminuitur. velut aggeres facere, flumina auertere, domum fulcire itemque reficere, pro mortuis arboribus alias reponere. Utiles veluti pecora imponere ad stercorandum agrum.*

Vide l. Impensæ necessariæ 14. D. de Impensis iu res dot. factis.

Ibid. cap. 3. φυλάττειν γὰρ ὁ ἀνὴρ ὀφείλει τὴν προῖκα δαπανήμασιν ἰδίοις, ὥσπερ τρέφειν τοὺς προικιμαίους δούλους. καὶ μέτρια δαπανᾶν εἰς ἀνανέωσιν .... καὶ ἐπιμέλειαν τῶν ἀγρῶν. *In M S S. legitur sine lacuna,* φυλάττειν γὰρ ὁ ἀνὴρ ὀφείλει τὴν προῖκα δαπανήμασιν ἰδίοις, ὥσπερ τρέφειν τοὺς προικιμαίους δούλους, καὶ μέτρια δαπανᾶν εἰς ἀνανέωσιν καὶ ἐπιμέλειαν τῶν ἀγρῶν, *Nam tueri dotem vir suis sumptibus debet, veluti cibaria dare dotalibus mancipiis, & modica impendere in refectionem & culturam agrorum.*

Vide l. quod dicitur 15. D. de impensis in res dotales factis, in qua hæc verba, *Et quæuis modica ædificiorum dotalium refectio, & agrorum quoque cultura*, leguntur: quæ quidem in hoc cap. deesse videntur.

Ibid. in fine huius tit. de dote legitur, Ἀνάγνωθι ϗ βιβλ. λ. πτ. α. κεφ. η. θεμ. γ. *Scribendum vt in MS.* Ἀνάγνωθι. βιβλ. κθ. τίτλ. α. κεφ. εις. θεμ. γ. ϗ βιβλ. λ. τίτλ. α. κεφ. κ. θεμ. γ. *Legito lib.* xxviiij. *tit.* I. *cap.* 20. *them.* III.

Ibid. pag. 268. ΠΕΡΙ ΓΑΜΙΚΩΝ ΚΕΡΔΩΝ, ϗ γαμικῶν δωρεῶν. Τοῦ αὐτοῦ τίτλου κεφάλ. . . . *Restituendum ex MS.* περὶ γαμικῶν κερδῶν, ϗ γαμικῶν δωρεῶν. Ἀνάγνωθι βιβλ. κθ. τίτλ. δ. οὗ τινος ἐν τῷ α. κεφ. φησί. *Legito lib.* xxviiij, *tit.* IV. *in cuius cap.* I. *dicitur.*

Ibid. pag. 209. *tit. de solutione matrimonii Cap.* I. Τὰς τοίνυν αἰτίας, ἐξ ὧν ὁ ἀνὴρ διαζύγιον ἀκινδύνως στέλλειν δύναται, ϗ τὴν προῖκα τῆς γυναικὸς ἀποκερδαίνειν, ... φυλαττομένης τῆς ἐπ' αὐτῇ δεσποτείας τοῖς ἐκ τοῦ γάμου παισίν: *Reponendum vt in MS.* Ἀνάγνωθι βιβλ. κη. τίτλ. ζ. οὗ τινος ἐν τῷ α. κεφ. φησί. Τὰς τοίνυν αἰτίας, ἐξ ὧν ὁ ἀνὴρ διαζύγιον ἀκινδύνως στέλλειν δύναται. ϗ τὴν προῖκα τῆς γυναικὸς ἀποκερδαίνειν, κατὰ χρῆσιν μόνην, φυλαττομένης τῆς ἐπ' αὐτῇ δεσποτείας τοῖς ἐκ τοῦ γάμου παισίν. *Legito lib.* xxviij. *tit.* vi. *in cuius cap.* I. *dicitur, Caussas igitur, ex quibus impune maritus repudium mittere potest, & vxoris dotem lucrari solius*

vsus gratia, proprietate eius susceptis ex eodem matrimonio liberis salua.

Ibid. paulo post legendum ex MS. Ἐὰν ἀνδράσι μὴ βουλομένου τοῦ ἀνδρὸς ἐξωτικοῖς συμποσιάζῃ, ἢ συλλούηται, *Si contra mariti voluntatem cum viris extraneis compotet, aut lauet.*

Ibid, pag. 305. post hac cap. viij. verba hoc capuc sequitur quod in ed. deest, Ἐν δὲ τῷ κζ. κεφ. ὅτι ἡ ὕστερον ἐπιφανεῖσα δουλεία, λύει τὸν γάμον καὶ διαζεύγνυσιν αὐτοὺς ἀπ' ἀλλήλων, ὡσανεὶ τελευτῆς ἀκολουθησάσης. *In cap. xxvi. Quod quæ postmodum ancilla apparuit, soluit matrimonium, & ipsos ab sese inuicem separat, vt morte secuta.*

IN LIBRVM XXXI.

IBid, tit. de pregnate pag. 313. cap. 4. legendum vt in MS. Regio, ἡ γαστρὸς ὀνόματι νομὴ, ἐν τάξει τῆς κατὰ τῆς διαθήκης ἐναντιώσεως δίδοται. *Ventris nomine possessio datur, vice possessionis bonorum contra tabulas.*

Sic recte emendauit in marg. Leuncl. In edit. vt in MS. bibl. Reginæ legitur, ἐν τάξει τῆς καταδίκης τῆς διαθήκης ἐναντιώσεως.

Ibid. paulo post, τότε δὲ πέμπεται ἡ γαστὴρ ἐπὶ νομῆς, ὅτε ἤδη ἂν ἐτέχθη τὸ ἐγκυμονούμενον, ἔμελλεν εἶναι ὑπεξούσιον εἰ δὲ καὶ τοῦτο, κατὰ δέ τινα θεματισμὸν ἠδύνατο......... ὑπεξούσιον, πέμπεται ἡ γαστὴρ ἐπὶ νομῆς. *Restituendum*

ex MS. & legendum, τότε δὲ πέμπεται ἡ γαστὴρ ἐπὶ νομῆς, ὅτε ἤδη ἂν ἐτέχθη τὸ ἐγκυμονούμενον, ἔμελλεν εἶναι ὑπεξούσιον. εἰ δὲ καὶ ἄδηλόν ἐστι τοῦτο, κατά δέ τινα θεματισμὸν ἠδύνατο εἶναι ὑπεξούσιον, πέμπεται ἡ γαστὴρ ἐπὶ νομῆς. *Tunc autem mittitur in poſſeßionem venter, quum id quod in vtero eſt, ſi natum fuerit, inter ſuos hæredes eſt futurum. Sed & ſi hoc incertum ſit, aliquo tamen caſu poſſit eſſe ſuum, in poſſeßionem venter mittitur.*

Vide l. Sicuti liberorum 1. D. de ventre in poſſeſſ. mittendo, in qua huius dicti hæc ratio redditur, æquius enim eſt vel fruſtra nonnunquam impendia fieri, quam denegari aliquando alimenta ei qui dominus bonorum aliquo caſu futurus eſt.

Ad hæc huius capitis verba, κατά δέ τινα θεματισμὸν *adſcriptum hoc*

ΣΧΟΛΙΟΝ.

Θεμάτισον υἱὸν θετὸν ὄντα ἐν τῇ φαμιλίᾳ τοῦ θετοῦ πατρὸς, ἐγκύμονα ἔχειν γαμετήν. καὶ πρὸ τοῦ τεκεῖν αὐτὴν, αὐτεξούσιον αὐτὴν γενέσθαι. τότε οὖν ὁ ἔγγονος ἐπεὶ μετὰ τὴν αὐτεξουσιότητα ἐγεννήθη, οὐκ ἔχει δίκαιον ἐπὶ νομῆς πεμφθῆναι εἰ μὴ πάλιν μετὰ αὐτεξουσιότητα ἔλαβεν αὐτὸν εἰς θέσιν.

Ibid. pag. 314. tit. de parentibus cap. 5. Ὁ δικαστὴς γινώσκει τοὺς παῖδας ἐκ τῶν γονέων, καὶ τοὺς γονεῖς ἐκ τῶν παίδων δι' ἀπορείαν καὶ ἀσθένειαν τρέφεσθαι, ... οἱ παῖδες, εἴτε ὑπεξούσιοι. καὶ ὁ πορνογενὴς τρέφει

